# ΣΥΝΟΨΙΣ

## τῶν

# ΚΩΝΙΚΩΝ ΤΟΜΩΝ

## ΓΟΥΙΔΩΝΟΣ ΤΟΥ ΓΡΑΝΔΗ.

Μετὰ

πλουσιωτάτων Ὑποσημειώσεων

καὶ Προσθηκῶν

**ὈΚΤΑΒΙΑΝΟΥ ΤΟΥ ΚΑΜΕΤΙΟΥ**

Μεταφρασθεῖσα ἐκ τῆς Λατινίδος εἰς τὴν καθ' ἡμᾶς ἁπλουστέραν διάλεκτον

ὙΠΟ Σ. Α. Σ. ΚΕΦΑΛΛ. ΤΟΥ Ι. Φ. Σ.

ἐξ ἧς μετήνεκται εἰς τὴν Ἑλληνικὴν

παρὰ

ἸΩΝΑ ἹΕΡΟΜ: ΣΠΑΡΜΙΩΤΟΥ.

---

Νῦν Πρῶτον τύποις ἐκδοθεῖσα. Ἐπιστασίᾳ μὲν καὶ Διορθώσει

**ἈΝΘΙΜΟΥ ΓΑΖΗ**

Ἀρχιμ. τοῦ Μηλιώτου.

Δαπάνῃ δὲ φιλοτίμῳ καὶ φιλοκάλῳ Ἑλλήνων, ὧν τὰ ὀνόματα ἐν τοῖς ἔμπροσθεν καταγράφονται.

---

Ἐν Βιέννῃ τῆς Αὐστρίας.

Τύποις Φραγκίσκου Ἀντωνίου Σχραίμβλ.

αωβ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ

Ε.Υ.Σ.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΠΑΙΣΙ'Ν 'ΕΛΛΗ'ΝΩΝ

τοῖς Φιλοτίμοις Συνδρομηταῖς τοῦ Παρόντος Βιβλίου, ὑγιαίνειν ϗ εὖ πράττειν.

Οὐδέποτε ὁ Ἥλιος ἐξίσαται ἑαυτοῦ, Ἑλληνογενεῖς Φιλότιμοι Συνδρομηταὶ τοῦ παρόντος ἀνὰ χεῖρας κοινωφελοῦς Βιβλίου: Οὐδέποτε, λέγω, ἐξίσαται τῆς Φυσικῆς αὐτοῦ πυρώδους τε ϗ φωσφόρου οὐσίας, σκότους, ἢ νυκτὸς πρόξενος γενόμενος, διὰ τῆς αὐτοῦ παρουσίας, εἰ ϗ πυκνότατον νέφος ὑπέρχεται, κατακαλύπτον ϗ περιβάλλον αὐτὸν, ἀλλ' εὐθέως,

*Λίμνην λιπὼν περικαλλέα, ϗ ὠκεανοῖο λελυμένος.*

εἰς τὸν ὁρίζοντα ἀνερχόμενος, κρουνηδὸν τὰς ἀκτίνας ἐκπέμπει, καταλάμπων ἅπαντα τὰ ἐν Οὐρανῷ ϗ ἐν Γῇ, τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καθ' ἡμᾶς ἡμισφαιρίου, καί τοι οἷον σκυθρωπὸς καὶ λύπῃ κατεχόμενος φαίνεται, διὰ τὸ ἐπιπροσθοῦν αὐτῷ νέφος: Οὐδὲ ὁ Μαργαρίτης, ἐν βορβόρῳ κατακείμενος, ἀποβάλλει τὴν οἰκείαν αὐτοῦ ἀστραπηφόρον λαμπρότητα, καὶ μαργαροειδῆ στιλπνότητα: ἀλλ' ἐν ᾧ, ἐκεῖνος μὲν Ἥλιος μένει, οὗτος δὲ Μαργαρίτης, ἐπιδείκνυνται τὴν ἑαυτῶν φυσικὴν δύναμιν, ὁ μὲν τὴν φύσει πυρώδη φωταυγίαν, ὁ δὲ τὴν ἀστραπόμορφον στιλπνότητα· καὶ ὁ μὲν, ἡλιοειδεῖς, ὁ δὲ, μαργαροειδεῖς τὰς ὄψεις ἀπεργάζονται.

*Δι' ὃ γὰρ ἕκαστον τοιοῦτον, ἐκεῖνο μᾶλλον τοιοῦτον.*

Καὶ ὑμεῖς δῆτα Φιλότιμοι Παῖδες Ἑλλήνων, οὐκ ἀπῴκισθε τῆς τοιαύτης Ἡλιώδους καὶ Μαργαροειδοῦς εἰκόνος: Καὶ γὰρ εἰ καὶ ὑπὸ τῆς τυραννικῆς Ζεύγλης, ἐν χρόνοις τοσούτοις, κατατρύχεσθε, φό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ροις ἀφορήτοις ϗ πυκνοῖς, ϗ ποικίλαις ἄλλαις νιφάσι χιονώδεσι, ϗ σμήνεσιν ἀδικίας, οἱονεὶ νεφέλῃ πυκνοτάτῃ ϗ συνεχεῖ, μηδόλως συγχωρούμενοι ἀνακύψαι, ἢ ἀναπνεῦσαι, εἰς ἑαυτούς τε ἐλθεῖν καὶ αὐτωπῆσαι εἰς τὴν λαμπρότητα τῶν Προγόνων (ἐπείτοι τὸ νέφος μᾶλλον καὶ μᾶλλον πυκνοῦται, μηδὲν ἀραιούμενον, μηδὲ ἐκ διαλειμμάτων ἐπερχόμενον)· καίτοι λέγω, ὁ βόρβορος τῶν τριβαρβάρων ἠθῶν καὶ ἐθῶν τῶν καταδυναστευόντων, ἰλύος δίκην ὑπεγχᾶται τοῖς ἑκατέρωθεν εὐγενέσιν Ὑμῶν ϗ φωσφόροις ἤθεσιν, οὐ δύναται μέντοι καταζοφῶσαι ταῦτα, ϗ καταχῶσαι τελείως: Οὐ γάρ,

Οὐ μὴ κατισχύσῃ ποτὲ κακία Σοφίας.

δύναται φωτὸς σκότος, κατακρατῆσαι, οὐδὲ ἀμαθίη παιδείας, οὐδ' εὐγενείας δυσγένεια, οὐδὲ κακὸν, καλοῦ, οὐδ' ἂν

εἴτι ἢ γενηται: ἀλλ᾽ ἀεὶ τὸ καλὸν ὑποδείκνυσι τὴν ἰδίαν καλλονὴν, ἢ τὸ εὐγενὲς, τὴν εὐγένειαν. Καὶ γὰρ,

Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς
... ἐσθλῶν γενέσθαι

ὅπως ποτ᾽ ἂν ἔχῃ καταστάσεως τῆς περὶ τὰ ἔξω, ταλαιπωρίας λέγω, καὶ κακυχίας τῶν θλίψεων τῆς ἐπαράτου αἰχμαλωσίας, ἥκιστα πέφυκεν ἀμαυροῦσθαι ὅλως, οὐδὲ τὸ ἔμφυτον μεταβαλεῖν, ἢ τοῖς ἀγενέσι ἢ τριβαρβάροις συγχώνυσθαι ἤθεσιν: ἐπεὶ,

Ὁ μὲν πονηρὸς, οὐδὲν ἄλλο πλὴν κακὸς,
Ὁ δ᾽ ἐσθλὸς, ἀεὶ ἐσθλὸς, οὐδὲ συμφορᾶς ὕπο
Φύσιν διέφθαρ᾽ ἀλλὰ χρηστὸς ἔστ᾽ ἀεί.

Δι᾽ ὃ δὴ, φημὶ, ἢ ποικίλοις πάντοθεν συνεχόμενοι δεινοῖς, παρεπιδείκνυσθε τὰς Φιλομούσους ἀκτίνας τῆς Ἡλιοειδοῦς τῶν Προγόνων λαμπρότητος, καὶ τὴν Μαργαροειδῆ μαρμαρυγὴν κατὰ τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἡμετέραν δύναμιν, ὑπαινιττόμενοι τὴν
φυσικὴν καὶ ἀρχῆθεν πρὸς τὰς Μούσας
συγγένειαν, ϗ διὰ τȣ́των τῶν μικρῶν ϗ
ἀμυδρῶν γραμμῶν ϗ ἀκτίνων, ὑπεμφαι-
νοντες, ὅτι ἀναφανήσεται ὁ νοερὸς Ἥλι-
ος ἐν τῷ ςερεώματι τῆς Παιδείας, ϗ ὁ
λαμπρὸς Μαργαρίτης, ἐν τῇ τραπέζῃ
τῶν πολιτίμων ἰδεῶν τῶν Πιερίδων, τȣ͂
βορβόρȣ ἐκκαθαρθέντος, καὶ τȣ͂ νέφȣς,
διαλυθέντος εἰς αἰθρίαν, θείȣ Βορέȣ ἐ-
πιπνεύσαντος, ϗ ἀνακτήσεσθε τὴν τῶν
Προγόνων λαμπρότητα, ϗ τιμήσετε τȣ́-
τȣς, ϗ τιμηθήσεσθε πανταχȣ͂, ὡς Φιλο-
μαθεῖς Ἀπόγονοι ἐκείνων: οἵτινες διακη-
ρύττονται φωςῆρες παγκόσμιοι τῆς Παι-
δείας, ἐκθειαζόμενοι παρὰ πᾶσι τοῖς
Ἔθνεσι, ϗ ἐπιγραφόμενοι κοινότατοι Πα-
τέρες τȣ͂ γνωςικȣ͂ Φωτός: Ἐπειδὴ ἐξ ἐκεί-
νων, ϗ τὰ λοιπὰ ἔθνη ἐφωτίσθησαν, ϗ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ... Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φωτίζονται, ϗ σεμνύνονται εἰς πᾶν εἶδος μαθήσεως.

*Πᾶσαι γὰρ τέχναι βροτοῖσιν ἐκ Προμηθέως.*

Λοιπὸν, δικαιότατα, προσφωνῶ καὶ προσφέρω τὸ ἀνὰ χεῖρας πόνημα τῶν περιφήμων ἐκείνων Προγόνων, εἰς κοινὸν ὄφελος ἡμῶν τῶν Ἀπογόνων ἐκείνων, πρὸς Ὑμᾶς τὰς τούτων Ἀπογόνους, ϗ φιλοτίμους Συνδρομητὰς τοῦ αὐτοῦ: Ὅπερ, ὡς σῶμα λαμπρὸν, ϗ ἐξ εὐγενῶν εὐγενὲς, πρὸ χρόνων μὲν ἐξεδύθη τὴν Πατρικὴν περιβολὴν, ϗ ἐνεδύθη ἀλλοδαποῖς Ἱματίοις, ὑπὸ τῶν τὰ ἡμέτερα προγονικὰ ἐκθειαζόντων Εὐρωπαίων ἐθνῶν, (εἰς ὄφελος ϗ καλλωπισμὸν ἑαυτῶν) νῦν δὲ ἀπεκδύθη τὴν ἄχρι καιροῦ ἀλλοδαπὴν περιβολὴν ὑπὸ τοῦ Πάντ' ἀρίστου ἐν Ἰατροφιλοσόφοις κυρίου Σπυρίδονος Ἀσάνη, ϗ ἐνεδύθη αὖθις τὴν Πατρικὴν, δι' ἧς ἐξε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φάνη τὴν πρώτην γεννηθὲν, ἐκ τῶν τὰ πρῶτα παρὰ ταῖς Μȣ́σαις ἐχόντων, ϗ γνησίων γόνων τῆς Ἀθηνᾶς: ἐφ᾽ ᾧ, καί πως ϗ γέγηθεν, εἰς τὸ οἰκεῖον, ϗ Φυσικὸν κέντρον αὐτȣ̃ μετακομισθὲν, ϗ τȣ̃ λοιπȣ̃ τοῖς οἰκείοις συναυλιζόμενον.

Ἀποδέξασθε λοιπὸν ἄσμενοι τȣ̃το, ὅπερ Ὑμεῖς Συνδρομηταὶ Φιλότιμοι τῆς ἐκ τῶν τύπων κοινωφελείας, ϗ Φιλοφρονήσασθε, ὅση δύναμις, ὥσπερ ἡ Πηνελώπη τὸν Ὀδυσσέα

... ἀμφὶ δὲ χεῖρας.
Δειρῇ βάλλ᾽ Ὀδυσῆϊ, κάρη δ᾽ ἔκυσ᾽, ἠδὲ προσηύδα.

ὡς κλῆρον πατρῷον, ξεναγȣ̃ντες, ἐπ᾽ ὠφελείᾳ ϗ αὐξήσει πρὸς ἅπαντας τȣ̀ς Ὁμογενεῖς, καὶ αὐτȣ̀ς τȣ̀ς Ὑμετέρȣς Φιλτάτȣς, ϗ παραινȣ̃ντες πᾶσι τὴν Φιλοπονίαν τῆς Παιδείας, ϗ πολλαπλῆν καρποφορίαν ἁπάντων τῶν καλῶν, καὶ τȣ́τȣ, καὶ τῶν πρὸ τȣ́τȣ, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Σ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μετὰ τῦτο: Ἀπεκδέχεσθε δὲ καὶ ἄλλα, συνδραμόντες ἡρωϊκῇ φιλοτιμίᾳ, ὡς Ἡρώων Ἀπόγονοι, τῆς αὐτῆς μὲν ἰδέας ἐχόμενα (ἅτε Φιλόσοφα, καὶ Θεωρίας ἀνδρώδους καὶ γενναίας), διαφόρου ὅμως ὕλης καὶ ὑποθέσεως, Λογιστικὴν Φημὶ Γραμμὴν, καὶ Κυκλοειδῆ, ἔτι δὲ καὶ Τριγωνομετρίαν διπλῆν, Θεωρητικὴν, καὶ Πρακτικὴν, μετὰ Πινάκων Λογαριθμικῶν ὠφελεστάτων, περὶ ὧν τὸ παρὸν ἀμοιροῦμεν: Προΐστασθαι Ἀδελφοὶ, καὶ Ὁμογενεῖς, τῆς ὁμογενοῦς καὶ προγονικῆς ἐπιδόσεως τῶν ἐπαινετῶν καὶ ἀρίστων, ὅλῃ δυνάμει, περιποιούμενοι ταύτην λειποθυμοῦσαν, ὑπὸ τῆς Τρωικῆς βαρβαρότητος, πρὸς καιρὸν ὅμως, κατὰ τὸν Σαλαμίνιον ἐκεῖνον Πρόγονον: ὃς ὅτε ὁ Ἀδελφὸς αὐτοῦ τρωθεὶς πέπτωκεν ὑπὸ τοῦ τριβαρβάρου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ψ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἕκτορος, προέσῃ, καὶ περιεποιήθη τȣ̃του εἰς ζωὴν,

> Αἴας δ' ȣ̓κ ἀμέλησε κασιγνήτοιο πεσόντος,
> Α'λλὰ θέων περίβη, ϗ̀ οἱ σάκος ἀμφεκάλυψε.

Γόνυ γὰρ κνύμης ἔγγιον, λέγει ἡ Παροιμία: Διὸ δὴ, ὡς ἀδελφοὶ, ἐν ἀνάγκαις χρήσιμοι γίνεσθε, δι' Ὑμᾶς αὐτȣ̀ς, καὶ τὴν Ὑμετέραν λαμπρότητα: ἵν' ȣ̓́τω καὶ νῦν μὲν εὐφημῆσθε, καὶ ἐν ȣ̓́τω πυκνοτάτῳ νέφει, καὶ βορβορώδει ἤθει τῆς ἐπαράτȣ δȣλείας, τὸ φυσικὸν φωσφόρον τῆς Α'θηνᾶς, καὶ τὸ ςιλπνὸν τȣ̃ Μαργαρίτȣ παραδηλȣ̃ντες, ἐκπλήττητε τὰ τῶν Ε'υρωπαίων ἔθνη, ἅτινα διὰ τὴν παρ' αὐτοῖς εὐνομίαν, ἐμιμήθησαν τȣ̀ς ἡμετέρȣς Προγόνȣς εἰς τὴν αὔξησιν, τῆς Α'θηνᾶς: ἵν' ἀληθεύῃ καὶ εἰς ἡμᾶς, κατάγε τȣ̃το, τό: „Ἡ γὰρ δύναμίς μȣ ἐν ἀσθενείᾳ τελειȣ̃ται." ὅπερ ὁ Κύριος εἶπε τῷ Α'ποςόλῳ: εἰς τὸ μετέπειτα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δὲ, μακαρίζησθε, ὑπὸ τῶν Ὀψιγόνων, ὡς μὴ ἀμελήσαντες τοῦ Φυσικοῦ καὶ προγονικοῦ χαρίσματος, τὴν ξυνομιλίαν λέγω, καὶ τῶν Μουσῶν ξυναυλίαν: καὶ ὁ Θεὸς αὐτὸς (παρ' ᾧ οὐδὲ ποτήριον ψυχροῦ ἄμισθον), νῦν μὲν ἀμείψηται Ὑμᾶς τῇ τελείᾳ, καὶ ταχείᾳ ἀπαλλαγῇ τῶν Τυραννικῶν κακῶν, μετὰ δὲ, καὶ τῇ τελείᾳ ἀντιδόσει τῶν παρ' αὐτῷ καλῶν, καὶ λογικῇ πάσῃ Φύσει ἐφετῶν. γένοιτο!

*Τῷ αωβ΄. Μηνὶ Δεκεμβρίῳ ἐν Βυζαντίῳ.*

Τῆς Ὑμετέρας Φιλοτίμου καὶ Φιλογενοῦς προθυμίας ἀδελφὸς ταπεινὸς, ὁ ἐλάχιστος Ἱερομόναχος καὶ Σπαρμιώτης.

ΙΩΝΑΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Οἱ Φιλότιμοι καὶ Φιλοπάτριδες Συνδρομηταὶ τῆς παρούσης Βίβλου.

Σώματα.

Ὁ πανιερώτατος Ἀρχιεπίσκοπος Ἐλασσῶνος κύριος Ἰωαννίκιος ὁ Βυζάντιος 6

Ὁ θεοφιλέστατος Ἐπίσκοπος Τρίκκης κύριος Γαβριὴλ 6

Ὁ θεοφιλέστατος Ἐπίσκοπος Σταγῶν κύριος Παΐσιος 4

Ὁ θεοφιλέστατος Ἐπίσκοπος Ζητουνίου κύριος Ἱερόθεος ὁ ἐκ Κλινόβου 6

Ὁ θεοφιλέστατος Ἐπίσκοπος Λητζᾶς καὶ Ἀγράφων κύριος Δοσίθεος ὁ ἐκ Σοφάδων 4

Ὁ θεοφιλέστατος Ἐπίσκοπος Πέτρας κύριος Νεόφυτος ὁ ἐκ Λιβαδίου τῆς Ἐλασσῶνος 8

Ὁ θεοφιλέστατος καὶ ἐλλογιμώτατος Ἐπίσκοπος Ἀρδαμηρίου κύριος Ἰγνάτιος ὁ ἐξ Ἀμπελακίων 4

Ὁ θεοφιλέστατος Ἐπίσκοπος Περιστερᾶς καὶ ἐπίτροπος τοῦ ἁγίου Λαρίσσης κύριος Παΐσιος 5

Ὁ παναιδεσιμοσοφώτατος Οἰκονομοδιδάσκαλος τῆς Τυρνάβου κύριος Ἰωάννης 10

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς τοῦ Σπαρμοῦ ἱερᾶς Μονῆς κύριος Ζαχαρίας 5

Ὁ πανοσιώτατος πνευματικὸς κὺρ Γεράσιμος ὁ Σπαρμιώτης 5

Ὁ πανοσιώτατος πνευματικὸς κὺρ Παρθένιος Σπαρμιώτης 5

Ὁ πανοσιώτατος πνευματικὸς κὺρ Νεόφυτος Σπαρμιώτης 5

Ὁ πανοσιώτατος ἐν Ἱερομονάχοις κὺρ Διονύσιος Σπαρμιώτης 2

Ὁ ἱερολογιώτατος ἐν Ἱερομονάχοις κὺρ Γερμανὸς Σπαρμιώτης. 1

Ὁ πανοσιολογιώτατος Πρωτοσύγγελος τοῦ ἁγίου Λαρίσσης κὺρ Σαμουὴλ 10

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὁ πανοσιώτατος ἐπίτροπος τοῦ Λαρίσσης κὺρ Μελέτιος ὁ ἐκ Τυρνάβου 5

Ὁ πανοσιολογιώτατος Ἀρχιμανδρίτης τοῦ παναγίου Τάφου κὺρ Γαβριὴλ ὁ ἐξ Ἄνδρου, ὁ ἐν τῷ ταξειδίῳ τῆς Λαρίσσης 5

Ὁ πανοσιώτατος Πρωτοσύγγελος τοῦ Σινᾶ κὺρ Μελέτιος, ὁ ἐν τῷ ταξειδίῳ τῆς Λαρίσσης 3

Ὁ αἰδεσιμολογιώτατος Οἰκονόμος τῆς Τζαριτζαίνης κὺρ Κυριακὸς 3

Ὁ πανοσιώτατος πνευματικὸς κὺρ Γαβριὴλ ὁ ἐκ τῆς μονῆς τῶν Καναλλίων, ὁ ἐν Τζαριτζαίνῃ 5

Ὁ πανοσιώτατος πνευματικὸς κὺρ Μακάριος ἐκ τῆς μονῆς τῶν Καναλλίων, ὁ ἐν Τυρνάβῳ 3

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς ἐν Τζαριτζαίνῃ μονῆς τοῦ ἁγίου Ἀθανασίου κὺρ Ἰωαννίκιος 5

Ὁ πανοσιώτατος πνευματικὸς ὁ ἐκ τῆς μονῆς τοῦ ἐν Ὀλύμπῳ ἁγίου Διονυσίου κὺρ Ἰωακεὶμ 5

Ὁ πανοσιολογιώτατος ἅγιος Ἀρχιμανδρίτης κὺρ Ζαχαρίας ὁ Πετριώτης 2

Ὁ πανοσιολογιώτατος ἐν Ἱερομονάχοις κὺρ Ἰωσὴφ ὁ ἐξ Ἀναλήψεως 3

Ὁ ἱερολογιώτατος Ἱεροδιάκονος τοῦ ἁγίου Ἐλασσῶνος κὺρ Διονύσιος ὁ ἐκ Τζαριτζαίνης 2

Ὁ ἱερολογιώτατος ἐν Ἱεροδιακόνοις κὺρ Ἱερώνυμος ἐξάδελφος τοῦ ἁγίου Πέτρας 4

Ὁ πανοσιολογιώτατος ἐν Ἱερομονάχοις κὺρ Ἱερόθεος Καναλλιώτης 1

Ὁ ἐν Ἱερομονάχοις Μακάριος Τυρναβίτης ὁ ἐν τῇ ἐκκλησίᾳ τῆς Τυρνάβου 1

Ὁ ἐντιμότατος κὺρ Ἰωάννης Στατήρη ὁ ἐκ Τζαριτζαίνης 1

Ὁ χρησιμώτατος κὺρ Πανταζῆς Στατήρη ὁ ἐκ Τζαριτζαίνης 2

Ὁ εὐγενέστατος καὶ λογιώτατος κὺρ Εὐστράτιος Σιφτέρη ὁ ἐκ Τζαριτζαίνης 6

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Σώματα

Ὁ εὐγενέστατος κὺρ χ. Στάϊκος χ. Κυρίτζη ὁ ἐκ Τζαριτζαίνης. 6

Ὁ χρησιμώτατος κὺρ Δημήτριος χ. Ἀθανασίου ὁ ἐκ Τζαριτζαίνης 6

Ὁ χρησιμώτατος κὺρ Γεώργιος χ. Ἀθανασίου ὁ ἐκ Τζαριτζαίνης 6

Ὁ ἐξοχώτατος ἰατρὸς κὺρ Ζώης ὁ ἐκ Ζαγορίου 4

Ὁ ἐξοχώτατος κὺρ Ἰωάννης ἰατρὸς ἀνεψιός τοῦ κὺρ Ζώη ἰατροῦ 2

Ὁ χρησιμολογιώτατος κὺρ χ. Θεόδωρος. χ. Φάραγγα, ὁ ἐκ Τζαριτζαίνης 2

Ὁ χρησιμολογιώτατος κὺρ Θεόδωρος Γεωργίου Σκύρτου ὁ ἐκ Τζαριτζαίνης 2

Ὁ χρησιμολογιώτατος κὺρ Δημήτριος Κοτοπόγλου ὁ ἐκ Τυρνάβου 2

Ὁ λογιώτατος κὺρ Κωστάκης Πόλιου ἐκ Τζαριτζαίνης 1

Ὁ λογιώτατος κὺρ Γεώργιος Κώνστα Σισχελιώτου 1

Ὁ χρησιμώτατος κὺρ Κουκουνάκης χ. Ἰωάννου ὁ ἐκ Λιβαδίου τῆς Ἐλασσῶνος

Ὁ τιμιώτατος κὺρ Φραγγούλης χ. παπᾶ Ἀδάμου ὁ ἐκ Λιβαδίου τῆς Ἐλασσῶνος 3

Ὁ αἰδεσιμώτατος παπᾶ κὺρ Δῆμος ὁ ἐν Λαρίσσῃ ἐνορεύων 1

Ὁ λογιώτατος κὺρ Γεώργιος παπᾶ Μιχαὴλ ὁ ἐκ Θετταλίας 2

Ὁ λογιώτατος κὺρ Ἀλέξιος Θεοδώρου ὁ ἐκ Ζαλόβου τῶν Γρεβενῶν 2

Ὁ τιμιώτατος κὺρ Μιχαλὺς Ἀναστασίου Γένναρης ὁ Λαρισσαῖος 2

Ὁ λογιώτατος κὺρ Ἰωάννης παπᾶ Ἀναστασίου ἐκ Γρεβενῶν 2

Ἡ ἐν Τζαριτζαίνῃ Σχολὴ διὰ τοῦ πανιδεσιμολογι-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

| | Σώματα. |
|---|---|
| μου ϗ φιλομαθεστάτου αὐτῆς ἐπιτρόπου ἁγίου Οἰκονόμου κυρίου Κυριακοῦ | 10 |
| Ὁ ἐλλογιμώτατος κὺρ Κωνσταντῖνος Μιχαὴλ ὁ Λαρισσαῖος | 5 |
| Ἡ ἐν Ἀμπελακίοις Σχολὴ | 10 |
| Ὁ εὐγενέστατος ἄρχ. λογοθέτης κύριος Γεώργιος χ. Ἰωάννου ὁ ἐξ Ἀγυιᾶς | 6 |
| Ὁ ἐντιμότατος κύριος χ. Ἀποστόλης παπᾶ Θεοκλήτου ὁ ἐξ Ἀγυιᾶς | 8 |
| Ὁ τιμιώτατος κύριος Δημήτριος Ῥίζου ὁ ἐκ Θανάτου | 5 |
| Ὁ πανοσιολογιώτατος πνευματικὸς κὺρ Ἀμφιλόχιος ὁ ἐκ τῆς ἐν Ὀλύμπῳ Μονῆς τοῦ ἁγίου Διονυσίου | 2 |
| Ὁ ἐντιμότατος κὺρ Ἀλέξιος χ. Ἰωάννου ὁ ἐξ Ἀγυιᾶς | 5 |
| Ὁ τιμιώτατος κὺρ χ. Κωνσταντῆς παπᾶ Ἀλεξίου ὁ ἐξ Ἀγυιᾶς | 5 |
| Ὁ τιμιώτατος κὺρ Ἀντώνιος Ἀναγνώστου ὁ ἐξ Ἀγυιᾶς | 3 |
| Ὁ τιμιώτατος κὺρ Ἰωάννης Ζάμπου ὁ ἐξ Ἀγυιᾶς | 6 |
| Ὁ τιμιώτατος κὺρ Βελισσάριος χ. Νικολάου ὁ ἐξ Ἀγυιᾶς | 3 |
| Ὁ τιμιώτατος κὺρ Κωνσταντῆς χ. Πασάγου ὁ ἐξ Ἀγυιᾶς | 1 |
| Ὁ τιμιώτατος κὺρ Νάσιος χ. Δημητρίου ὁ ἐξ Ἀγυιᾶς | 1 |
| Ὁ τιμιώτατος κὺρ Νικόλαος Γηρακλῆ | 1 |
| Ὁ αἰδεσιμώτατος κὺρ Παναγιώτης ἱερεὺς χ. Δημητρίου ὁ ἐξ Ἀγυιᾶς | 1 |
| Ὁ τιμιώτατος κὺρ Νάσιος Τζερέπη ὁ ἐξ Ἀγυιᾶς | 2 |
| Ὁ τιμιώτατος κὺρ Γεώργιος Οἰκονόμου ὁ ἐξ Ἀγυιᾶς | |
| Ὁ αἰδεσιμώτατος κὺρ Δημήτριος Ἱερεὺς Δήμου ὁ ἐξ Ἀγυιᾶς | 1 |
| Ὁ τιμιώτατος κὺρ Ἰωάννης Κασαβέλα ὁ ἐξ Ἀγυιᾶς | 1 |
| Ὁ πανοσιώτατος Σκευοφύλαξ κύριος Στέφανος Δασικιώτης | 5 |

| | Σώματα. |
|---|---|
| Ὁ πανοσιομουσικώτατος Καθηγούμενος τοῦ Μετεώρου κύριος Παρθένιος | 1 |
| Ὁ αἰδεσιμώτατος παπᾶ κὺρ Γεώργιος Κώνσια ὁ ἐκ Σοφάδων | 4 |
| Ὁ αἰδεσιμώτατος παπᾶ κὺρ Γεωργάκης ὁ ἐκ Σοφάδων | 1 |
| Ὁ αἰδεσιμώτατος παπᾶ κὺρ Τριαντάφυλλος παπᾶ Ἀθανασίου ὁ ἐκ Σοφάδων | 1 |
| Ὁ αἰδεσιμώτατος παπᾶ κὺρ Γεωργάκης Σαπουνᾶς ὁ ἐκ Σοφάδων | 1 |
| Ὁ ἐντιμότατος κὺρ Γερο-Σταμούλης ὁ ἐκ Σοφάδων | 3 |
| Ὁ ἐν ἰατροῖς ἐξοχώτατος κύριος Παναγιωτάκης Ζωγράφης ὁ ἐκ Κεφαληνίας | 12 |
| Ὁ ἐξοχώτατος κὺρ Κωνσταντῖνος ἰατρὸς ἐκ Σοφάδων | 4 |
| Ὁ τιμιώτατος κὺρ Γιαννάκης τοῦ Γεωργάκη ὁ ἐκ Σοφάδων | 4 |
| Ὁ ἐξοχώτατος ἐν ἰατροῖς κὺρ Κωνσταντῖνος Φίτζιος ὁ ἐξ Ἰωαννίνων | 1 |
| Ὁ τιμιώτατος κὺρ Γιαννέσιος παπᾶ Χρήστου ὁ ἐκ Κλεινοβοῦ | 1 |
| Ὁ τιμιώτατος κὺρ Χρῆστος Εὐσταθίου ὁ ἐκ Κλεινοβοῦ | 1 |
| Ὁ τιμιώτατος κὺρ Δημητράκης Σιμόπουλου ὁ ἐκ Τρίκκης | 1 |
| Ὁ τιμιώτατος κὺρ Θεόδωρος παπᾶ Χρήστου ὁ ἐκ Κλεινοβοῦ | 1 |
| Ὁ αἰδεσιμολογιώτατος οἰκονόμος τοῦ Κλεινοβοῦ κὺρ Γεώργιος ἱερεὺς | |
| Ὁ σοφολογιώτατος διδάσκαλος Σμύρνης κὺρ Χρύσανθος Ἱερομόναχος | 3 |
| Ὁ ἐντιμότατος κὺρ Ἀντώνιος Νικολάου Μπαχυτόρη ὁ ἐκ Σμύρνης | 1 |
| Ὁ τοῦ σεβαστοῦ δεσπότου ἁγίου Σμύρνης Γραμματικὸς λογιώτατος κὺρ Θεόδωρος | 4 |
| Ὁ τιμιώτατος κὺρ Παναγιώτης Παναγιωτόπουλος ὁ ἐκ Σμύρνης | 2 |



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

| | Σώματα. |
|---|---|
| Ὁ ἐντιμότ. κὺρ Παντολέων Καλμάση ὁ ἐκ Σμύρνης | 2 |
| Ὁ ἐντιμότ. κὺρ Στυλιανὸς Στασινόπουλος ὁ ἐκ Σμύρνης | 1 |
| Ὁ ἐντιμότατος κὺρ Σταῦρος Σταυράκογλους | 2 |
| Ὁ ἐντιμότατος κὺρ Γεώργιος Ἰωάννου ὁ ἐκ Σμύρνης | 1 |
| Ὁ ἐντιμότατος κὺρ Δημήτριος Τυφεκτζόγλους | 1 |
| Ὁ ἐντιμότατος κὺρ Ἰωάννης Μαμμάκης | 1 |
| Ὁ ἐντιμότατος κὺρ Ἰάκωβος Ῥάτης | 2 |
| Ὁ ἐντιμότατος κὺρ Γεώργιος Μπέλης | 1 |
| Ὁ ἐντιμότ. κὺρ Μιχαὴλ Μαυρογορδάτος Ἀμβροσίου | 1 |
| Ὁ ἐντιμότατος κὺρ Πετράκης Σκῦφος | 2 |
| Ὁ πανιερώτατος Μητροπολίτης Χίου κύριος Διονύσιος | 1 |
| Ὁ πανοσιώτατος ἐν Ἱερομονάχοις κύριος Μακάριος Βασιλάκης Χῖος | 1 |
| Ὁ σοφολογιώτατος διδάσκαλος τῆς Χίου κὺρ Ἰωάννης Τζελεπῆς | 1 |
| Ὁ ἱερολογιώτατος ἐν Ἱεροδιακόνοις κὺρ Μελέτιος Μιτυληναῖος | 1 |
| Ὁ ἱερολογιώτατος ἐν Ἱεροδιακόνοις κὺρ Ἱερόθεος Σμυρναῖος | 1 |
| Ὁ ἐλλογιμώτατος ἐν Ἱερομονάχοις κὺρ Ματθαῖος ὁ ἐκ Τυρνάβου | 1 |
| Ὁ ἐντιμότατος κὺρ Ἀποστόλης Ἰωάννου Σίφνιος | 1 |
| Ὁ ἐλλογιμώτατος διδάσκαλος τῆς Νάξης κὺρ Ἀγγελάκης Ναξαῖος | 4 |
| Ὁ πανοσιολογιώτατος ἐν Ἱερομονάχοις κὺρ Γρηγόριος ὁ ἐκ Τρίκκης | 2 |
| Ὁ χρησιμώτατος κὺρ Δημήτριος Βαρλάμη Θεσσαλονικεύς | 2 |

---

Ἡ φιλογενεστάτη Ἀδελφότης τῶν κυρίων Ζωσιμάδων

Ὁ Θεοδόσιος Ἡλιάδης

Ὁ Νικόλαος Λογάδης

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΚΛΑΣΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Ἐπιγράμματα

εἰς τὰς τρεῖς τῦ Κώνυ τομάς. Παραβολὴν, Ὑπερβολὴν, ϗ Ἔλλειψιν.

Ἰαμβικόν

Ἔλλειψιν ἔχον οἱ Πλάνητες τὴν δίνην.
Παραβολὴν δὲ σῶμα ῥιφθὲν ἐκθέει·
Ὑπερβολὴ σύναψιν ἀκτίνων Φέρει.
Ὦ κλεινὲ Κῶνε, ποῖα τμηθεὶς γνωρίσεις!

ἕτερον εἰς τὸν Κῶνον

Βάσιν κυκλίζων Κῶνος, ὕψος ὀξύνει.
Τομῇ δὲ τριπλῇ νῦν τομῶς νῦν εὐρύνει.

Ἄλλο εἰς τὴν Βίβλον

Εἰ Σακχάρειος ἠδύνει Κῶνος ςόμα
Ὀυ πνεῦμα μᾶλλον ἥδε Κωνικὴ Βίβλος,

Κωνςαντῖνος Μιχαὴλ ὁ ἐκ Λαρίσσης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006